UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Philippi Cyprii, Protonotarii Constantinopolitani, Chronicon Ecclesiae Graecae

**Philippus <Cyprius>**

**Franeqverae, 1679**

38 De modo initiandi monachos.

urn:nbn:de:hbz:466:1-10949

Visual Library

νύκτιον μία ὥρα καὶ ἥμισυ, ἐν δὲ ταῖς κυριακαῖς ἡμέραισιν ἐγείρονται, ἀφ᾽ οὗ παρέλθῃ μία ὥρα μόνον, ἐν ὅλῳ τῷ ἐνιαυτῷ. Ἀγρυπνοῦσι δὲ καὶ ἀφ᾽ ἑσπέρας ἕως πρωῒ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς, καὶ ἐν ταῖς ἑορταῖς τῶν μεγάλων ἁγίων, τουτέστιν, ἐν τῇ νυκτὶ τῆς ἀναστάσεως, ἐν τῇ νυκτὶ τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ, τῇ εἰκοστῇ τετάρτῃ ἡμέρᾳ τοῦ Ἰουνίου μηνός, ἐν τῇ εἰκοστῇ ἐννάτῃ τοῦ Ἰουνίου μηνός, ἐν τῇ ἑορτῇ Πέτρου καὶ Παύλου. καὶ ἐν τῇ ἕκτῃ ἡμέρᾳ τοῦ Σεβαστοῦ, ὅτι τὴν αὐτὴν ἡμέραν ἄγουσιν ἑορτὴν μεγάλην, διὰ τὸ μεταμορφωθῆναι τὸν Χριστὸν ἐν τῷ Θαβωρίῳ ὄρει. Καλεῖται δὲ ἑορτὴ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ. Ἔτι ἄγουσιν ἑορτὴν μεγάλην καὶ παννύχιον ἀγρυπνίαν πλούσιοι καὶ πτωχοί, τη δεκάτη πέμπτη ἡμέρᾳ τοῦ Σεβαστοῦ, διότι τὴν αὐτὴν ἡμέραν ἡ θεομήτωρ, καὶ παρθένος, μετέστη ἀπὸ τῶν γηΐνων εἰς τὰ οὐράνια. Καὶ οὕτω καὶ ἐν ἄλλαις ἑορταῖς, ὡς καὶ ἐν τῇ γεννήσει τοῦ Χριστοῦ. Καὶ ταῦτα περὶ τῆς ζωῆς τῶν Ἑλλήνων, καὶ τῶν Ἑλληνικῶν μοναχῶν.

## ΚΕΦΑΛ ΛΗ.

## Περὶ τοῦ, πῶς γίνονται οἱ μοναχοί.

Ἔθος ἐστὶ παρὰ τοῖς μοναχοῖς τῶν Ἑλλήνων, ἵνα, ὅταν θέλῃ τὶς μοναχὸς γενέσθαι, πρῶτον ἔρχεται εἰς τὸ μοναστήριον, καὶ ἐρωτᾷ ἐκεῖνον ὁ ἡγούμενος, τί θέλει; ὁ δὲ ἀποκρίνεται, λέγων, θέλω γενέσθαι μοναχός. Τότε λέγει ἐκείνῳ ὁ ἡγούμενος· Ἔθος ἐστὶ μένειν ἐν τῷ μοναστηρίῳ τρία ἔτη, ἵνα δοκιμάσῃ ἑαυτόν, καὶ μετὰ τρία ἔτη, ἐὰν ἀρέσκῃ ἐκείνῳ γενέσθαι μοναχός, καλῶς ἔχει· ἐὰν δὲ μή, ἔξεστιν ἐκείνῳ ἀπελθεῖν καὶ γαμεῖν. Ἐὰν δὲ ἀρέσκῃ ἐκείνῳ γενέσθαι μοναχός, τότε λαμβάνει ἐκεῖνον ὁ ἡγούμενος, καὶ προσδέχεται εἰς τὸν ναόν, καὶ λέγει ἐκείνῳ. Ὅρα, ἄγγελος Κυρίου παρίσταται λαβεῖν τὴν ὁμολογίαν σου. Καὶ πρόσεχε, μήπως ἦλθες, καὶ θέλεις γενέσθαι μοναχὸς ἕνεκα θλίψεώς τινος,

Τουτέ-

etiam primâ tantum horâ post mediam noctem auditâ, per totum annum ad preces surgant. Quin ab ipsâ vesperâ ad ipsum tempus matutinum vigilant, quando præcipua festa & memoriæ præcipuorum sanctorum celebrantur. Ita insomnem ducunt noctem in festo ascensionis, Pentecostæ, in festo Johannis Baptistæ, quod in diem vigesimam quartam Junii incidit, in festo Petri & Pauli, quod die vigesima nona ejusdem mensis instituitur, ut & die sexta mensis Augusti; tùm enim solemne aliquod festum celebrant, eò quod Christus in monte Thabor transformatus est; unde & nomen à transfiguratione Christi obtinet. Celebrant adhæc die decima quinta Augusti maximè solenne festum, totamque noctem non solùm pauperes, sed & divites vigilando transmittunt; quia hac die simul deipara, virgo tamen simul, ex hoc terrestri in cœleste tabernaculum est translata. Id quod & aliis festis, ut tempore nativitatis Christi observare solent. Et hæc sunt, quæ de Græcorum Græcanicorumque monachorum vitæ ratione dicere habuimus.

## CAPUT XXXVIII.

# Qua ratione monachi in sacrum ordinem adoptantur.

USitatum est apud monachos Græcos, ut quilibet monachorum ordini initiari desiderans, primò omnium in monasterium se conferat, ex quo illico præpositus, sive major monachorum, quidnam expetat? sciscitatur. Respondente illo, se monacho commutari velle; senior his eum affatur verbis: Moris est, ut quilibet hoc mentis proposito adveniens, constantiæ animi sui penitius explorandæ ergò, triennium in monasterio commoretur. Quod si his annis superatis, monachorum ordini adscribi adhuc desiderat, patet illi janua; sin minus, liberum illi est & monasterio rursus exire & uxorem ducere. Sin verò vita monastica ipsi arriserit, tum manu prehensum præpositus in templum deducit, & eum hoc sermone alloquitur: Ecce angelus Domini hic adstat, excepturus professionem tuam; cave ergò, ne pœnæ & animadversionis alicujus effugiendæ causâ huc accesseris, & ideò monachorum sacris consecrari expetas, hoc est, num quem etiam è vita sustulisti, & occultandi causa te jam huc recipis? anne verò parentes etiam tui tristitia & ægritudine aliqua te affecerunt? Num quid autem, quod fortè carnalibus aliquibus cupiditatibus pro voto animum

τουτέστι, μὴ ἐφόνευσας, καὶ ἦλθες κρυβῆναι ἕνεκα τοῦ φόνου, ἢ οἱ γονεῖς σου ἐλύπησαν σέ τι; ἢ σαρκικὰ θελήματα ἐζήτησας ἔχειν, καὶ οὐκ ἐδυνήθης, καὶ ἐκ τῆς λύπης ἦλθες γενέσθαι μοναχός, καὶ οὐ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ; καὶ ἕτερα τοιαῦτα.

Τότε ὁ μέλλων γενέσθαι μοναχὸς λέγει, Οὐχί, τίμιε πάτερ, ἀλλ' ἐπιθυμῶ διάγειν βίον ἥσυχον, καὶ εἰρηνικόν, καὶ ἀπέχειν ἐκ τῶν κοσμικῶν θορύβων, καὶ ματαίων ταραχῶν τοῦ κόσμου, καὶ νηστεύειν, ἀγρυπνεῖν, προσεύχεσθαι τῷ Θεῷ ἐν εἰρήνῃ.

Τότε πάλιν ὁ ἡγούμενος λέγει ἐκείνῳ, θέλεις ἀρνηθῆναι τὸν κόσμον, καὶ τὰ ἐγκόσμια, διὰ τὴν ἀγάπην τοῦ Θεοῦ; ἀποκρίνεται ὁ μέλλων, Ναί, τίμιε πάτερ, Θεοῦ συνεργοῦντος. θέλεις ἀρνεῖσθαι πατέρα ἢ μητέρα ἢ ἀδελφούς, καὶ γάμους, καὶ χαρὰς τοῦ κόσμου, καὶ ἡδονάς, καθὼς εἶπεν ὁ Χριστός· ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, καὶ τὰ ἑξῆς, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ. Ὁ δὲ ἀποκρίνεται, Ναί, τίμιε πάτερ, Θεοῦ συνεργοῦντος. καὶ οὕτως ἀποκρίνεται ἐν πάσῃ ἐρωτήσει. Καὶ μετὰ ταῦτα ὁ ἡγούμενος ἐνδύει ἐκεῖνον τὰ μοναχικὰ ἱμάτια εὐχόμενος, καὶ τότε κόπτει μετὰ ψαλιδίου ὀλίγας τρίχας ἐκ τῆς κεφαλῆς ἐκείνου, καὶ μίγνυσι σὺν κηρῷ μελισσῶν, καὶ πήγνυσι ἔν τινι ἀγκῶνι ἐγγὺς τοῦ ἁγίου βήματος. (τουτέστιν, ἐγγὺς τοῦ τόπου, ὅπου θυσιάζει ὁ ἱερεύς) σημαίνων, ὅτι ἀφιερώθη τῷ Θεῷ, καὶ οὐκ ἔτι ἐξουσιάζει τοῦ σώματος αὐτοῦ, πρὸς τὸ γαμεῖν, διὰ τὸ λέγειν τὸν Χριστόν· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Οὕτω καὶ οὗτος ὁ μοναχὸς οὐ δύναται ἀρνηθῆναι τὴν παρθενείαν, καὶ μετὰ γαμῆσαι, ἀρέσαι τῷ Θεῷ, ὥσπερ ἐκεῖνος ὁ γεωργὸς στραφεὶς εἰς τὰ ὀπίσω, οὐ δύναται εὐθύνειν τὴν αὔλακα. Καὶ πάλιν· γρηγορεῖτε, ἵνα μὴ ἐμπέσητε εἰς πειρασμόν. Τούτου ἕνεκα λέγει ὁ Παῦλος πρὸς Τιμόθεον κεφ. ε. στοιχ. ια. Ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. Τουτέστι, τὴν ὑπόσχεσιν, ἣν ὑπέσχοντο φυλάττειν τὴν παρθενείαν, (ὡς ὁ Χρυσόστομος ἑρμηνεύει) οὐ θέλουσι νηστεύειν, ἀγρυπνεῖν, προσεύχεσθαι, νομίζειν ἑαυτοὺς εἶναι νεκροὺς ἐκ τῆς δόξης τοῦ κόσμου τούτου, καθὼς ὑπέσχοντο, καὶ μένειν διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ.

Ἐρω-

tuum explere non potuisti, cruciaris, & hujus, non Dei amoris gratiâ, vitam monasticam exambis? His addit ejusdem commatis quæstiones plures.

Huic autem futurus ille monachus ita respondet: Minimè omnium, venerande pater, sed illud unicè quæro affectoque, vitam ut tranquillam, pacatam, mundanarum perturbationum, & vanarum seculi hujus curarum immunem vivere, & jejuniis, vigiliis, precibusque ad Deum fundendis citra impedimentum commodè vacare possim.

Tum pergit major ex illo quærere: Sedet ne firmiter animo tuo, propter amorem Dei mundo mundanisque rebus nuncium remittere? Respondet futurus ille monachus: Sedet utique, reverende pater, Dei auxiliante gratia. Decretum constitutumque tibi est, Christi amore patri, matri, fratribus, nuptiis, mundique hujus gaudiis & voluptatibus planè valedicere, secundum verba Christi: Quicunque reliquerit patrem & matrem, & quæ sequuntur. Cui ille: Etiam hoc, reverende pater, Dei adjutus præsidio, spondeo, promitto, recipio: hisque verbis omnes interrogationes excipit. Dehinc prior ille monachali habitu ipsum induit, precibus & hîc quoque non intermissis, postea forsecula aliqua capillos aliquot de capite illius resecat, ceræque ab apibus confectæ commixtos parietis conflexo alicui rectum angulum describenti, propè altare sacrum (hoc est, proximè locum, ubi sacerdos sacrificat) infigit, significans eopse, quod Deo jam devotus consecratusque corporis sui potestatem ad nuptias contrahendas amplius non obtineat; idque propter pronunciatum illud Christi: Nemo manum suam aratro admovens, & pone se respiciens, ad regnum Dei idoneus est. Simili ratione & hic monachus, si desertâ virginali continentiâ, nuptias contrahat, Deo minime placere potest: sicut agricola retrò oculos conjiciens, rectos nequit sulcos ducere. Et secundum aliud ejusdem: Vigilate, ne in tentationem incidatis. De his ipsis Paulus in epistolâ suâ ad Timotheum v, 11. ita loquitur: Postquam enim lascivierunt adversus Christum, nubere volunt: damnandæ, quod primam fidem rejecerint, hoc est voti & promissi, quo, explicante Chrysostomo, perpetuam virginitatem promiserunt, desertores sint; quo admisso simul etiam jejunia, vigilias & peces procul à se amandant, nec gloriâ mundanâ, ut quidem receperant, semel valere jussa, simul in perpetuum sese eidem valedixisse vel valedicere debere, amplius existimant.

Ἐρώτησις· εἰ ἔξεστιν ἀφιεροῦσθαι τῷ Θεῷ;

Ἀπόκρισις· Ἔξεστι τοῖς θέλουσι ἀφιεροῦσθαι τῷ Θεῷ, κατὰ τὸν Ἰωάννην ἐν ἀποκαλύψει κεφ. ιδ. Καὶ φωνὴν ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν. τουτέστι τὴν ἀγρυπνίαν, τὴν ἐκτενῆ προσευχὴν, τὴν νηστείαν, τὴν ἀκακίαν ἐκείνων τῶν ἑκατὸν τεσσαράκοντα τεσσάρων χιλιάδων, τῶν ἠγορασμένων ἀπὸ τῆς γῆς, τουτέστι, τῶν ἀφιερωμένων τῷ Θεῷ, ἀπὸ τῶν γονέων, καὶ συγγενῶν. γῆ γὰρ νοεῖται γήϊνα πράγματα, τουτέστιν, ἀπὸ τῶν γηΐνων πραγμάτων ἀφιερώθησαν τῷ Θεῷ. Οὗτοί εἰσιν, οἱ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν οὗτοι, καὶ τὰ ἑξῆς. Παῦλος· ζηλοῦτε τὰ κρείττονα χαρίσματα. Τὸ παρθενεύειν ἐστὶ κρεῖττον χάρισμα, ὡς φησιν πάλιν ὁ Παῦλος· Ὁ γὰρ γαμήσας καλῶς ποιεῖ· ὁ δὲ μὴ γαμήσας, κρεῖττον ποιεῖ. Ὅτι ὁ γαμήσας τὰ τοῦ κόσμου φρονεῖ, ὁ δὲ μὴ γαμήσας τὰ τοῦ Θεοῦ φρονεῖ. Ἄρα ἔξεστιν ἀφιεροῦσθαι τῷ Θεῷ ἄνευ ὅρκου, διὰ τὸ λέγειν τὸν Κύριον, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν, ἀλλὰ διὰ προσευχῆς ἀφιεροῦσθαι τῷ Θεῷ, ὡς προδιηγήθημεν,

## ΚΕΦΑΛ. ΛΘ.

### Ἐὰν συμβῇ μοναχῷ ἁμαρτῆσαι, τί ἔσεται τὸ τέλος; ἀπόκρισις.

ΕΆν συμβῇ μοναχῷ ἁμαρτῆσαι, μετανοείτω, καὶ πλεῖον παραδιδώτω ἑαυτὸν ταῖς νηστείαις, ταῖς ἀγρυπνίαις, καὶ τοῖς δάκρυσι, κατὰ τὸν προφήτην Ἰωὴλ καὶ στήτω ἐν τῇ ἰδίᾳ μοναχικῇ τάξει, διὰ τὸ λέγειν τὸν Παῦλον· Ἔγειρε ὁ καθεύδων, ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Καὶ πάλιν, διὰ τὸ λέγειν τὸν Χριστὸν, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλλω ἔξω· καὶ ἐὰν ἁμαρτήσῃ ὁ ἀδελφός μου ἕως ἑπτάκις τῆς ἡμέρας, καὶ τὰ ἑξῆς. Καὶ τὸν Παῦλον· ἀδελφοὶ, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Ταῦτα λέγει ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος τῆς Κωνσταντινουπόλεως, ἥτις ἠθροίσθη κατὰ τῶν πνευματομάχων.

Quæſtio: An Deo ſeſe conſecrare liceat?

Licitum utique eſt iis qui ſe totos Deo volunr dedere, propter Johannem in Apocalypſi cap. XIV ita dicentem: Et audivi vocem citharœdorum pulſantium citharas ſuas. Et ecce canunt quaſi canticum novum ante thronum, & ante quatuor animalia & ſeniores, neque quiſquam poterat diſcere canticum illud (hoc eſt, vigilias, intentas orationes, jejunium & ſanctitatem centum quadraginta quatuor millium illorum emptorum de terra: id eſt, parentibus & conſanguineis poſthabitis, Deo conſecratorum. Per terram enim terreſtres intelliguntur, ut ſit ſenſus: Rebus terreſtribus neglectis, Deo ſe dicarunt. Hi ſunt, qui cum mulieribus non ſunt coinquinati: virgines enim ſunt, vide reliqua. Paulus: Contendite, ut poſſideatis dona præſtantiſſima. Perpetuam caſtitatem ſectari, eſt, eodem Paulo dicente, donum præſtantius. Qui enim uxorem ducit, benè agit; qui verò non ducit, melius facit; quia ille quæ mundi ſunt, hic vero, quæ Dei ſunt, cogitat. Licitum itaque eſt, ſeſe Deo conſecrare, ſed ſine juramento, propter dictum illud Chriſti: Nolite jurare neque per cœlum, neque per terram, tantùm per preces, uti jam ante à nobis recenſitum eſt.

## CAPVT XXXIX.

## DE

# Pœna monachorum exorbitantium.

QUod ſi monachus aliquando exorbitet, pœnitentiam agat, diutius quàm antehac factum jejunet, diutius vigilet, plures lacrymas fundat, ſecundum monitum Prophetæ Joëlis; inque regulâ monaſticâ, quam ſemel profeſſus eſt, perſeveret. Hoc enim Paulus requirit, dicens: Expergiſcere qui dormis, & ſurge ex mortuis, & illuminabit te Chriſtus. Cui conſonat Chriſtus: Quicunque, inquiens, venerit ad me, nequaquam ejicietur à me. Item: Si frater meus de die vel ſepties peccaverit, &c. Et Paulus ait: Fratres, ſi aliquis lapſu aliquo præoccupatus fuerit, vos, qui ſpirituales eſtis, ſpiritu lenitatis & manſuetudinis eum in viam rectam reducite, memores veſtri ipſorum, ne & vos in tentationem aliquam incidatis. Hæc habet ſanctum & Oecumenicum Conſtantinopolitanum Concilium primum, quod contra Pneumatomachos celebrautum eſt.